Universitätsbibliothek Paderborn

Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

XVI. Quod imagines suas in templis idolorum poni, lege lata prohibuit.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

τῶν ὅλων δεσπότην πατέρα Θεὸν, ἵλεω καὶ εὐμενῆ. τούτους τοιγαροῦν ἐπειδὴ τοσοῦτος εἶ, σοὶ παρατίθεμαι, τοὺς αὐτοὺς τούτους, ὅτι καὶ εὐσεβείᾳ ἐπίσημος εἶ, ἐγχειρίζω· τούτους ἀγάπα ἁρμοδίως τῆς σεαυτοῦ φιλανθρωπίας. αὐτῷ τε γὰρ καὶ ἡμῖν ἀπερίγραπτον δώσεις διὰ τῆς πίστεως τὴν χάριν.

A illorum. Hoc enim modo ſummum omnium Dominum ac parentem Deum, propitium ac placatum habiturus es. Hos itaque, quandoquidem talis tantuſque es, tibi commendo. Hos quandoquidem pietate excellis, tibi in manum trado. Hos pro tua humanitate complectere. Sic enim & tibi ipſi & nobis, hac tua fide immenſum beneficium præſtabis.

ΚΕΦΑΛΑΙΟΝ ΙΔʹ.

Ὅπως Χριστιανοῖς μὲν ἦν εἰρήνη, σπουδῇ τῶν Κωνσταντίνου προσευχῶν.

Οὕτω δὴ λοιπὸν τῶν ἁπανταχοῦ τῆς οἰκουμένης ἐθνῶν ὥσπερ ὑφ' ἑνὶ κυβερνήτῃ διευθυνομένων, καὶ τὴν ὑπὸ τῷ θεράποντι τοῦ Θεοῦ πολιτείαν ἀσπαζομένων, μηδενὸς μηκέτι παρενοχλοῦντος τὴν Ῥωμαίων ἀρχὴν, ἐν εὐσταθεῖ καὶ ἀταράχῳ βίῳ τὴν ζωὴν διῆγον οἱ πάντες. βασιλεὺς δὲ κρίνας αὐτῷ τὰ μεγάλα συντείνειν πρὸς τὴν τῶν ὅλων φυλακὴν τὰς τῶν θεοσεβῶν εὐχὰς, ταύτας ἀναγκαίως ἐπορίζετο. αὐτός θ' ἱκέτης γιγνόμενος τοῦ Θεοῦ, τοῖς τῶν ἐκκλησιῶν προέδροις τὰς ὑπὲρ αὐτοῦ λιτὰς ποιεῖσθαι ἐγκελευόμενος.

Caput XIV.

B *Quomodo aſſiduis Conſtantini precibus pax data eſt Chriſtianis.*

IN hunc modum cùm omnes ubique gentes inſtar navis cujuſdam, unius gubernatoris regerentur induſtriâ, & Imperium ac religionem famuli Dei libentiſſimè amplecterentur; nec ullus amplius Romanum Imperium perturbaret, cuncti poſthac tranquillam & quietam vitam agebant. Imperator verò cùm piorum hominum preces ad ſalutem Reipublicæ plurimum conferre exiſtimaret, eas quoq; neceſſariò conciliandas ſibi putavit. Itaque & ipſe ſupplex Dei opem imploravit; & Præſidibus Eccleſiarum præcepit, ut pro ſe C preces ad Deum funderent.

ΚΕΦΑΛΑΙΟΝ ΙΕʹ.

Ὅτι καὶ ἐν νομίσμασι καὶ ἐν εἰκόσιν, ὡς εὐχόμενον ἑαυτὸν ἐχάραττεν.

Ὅση δ' αὐτοῦ τῇ ψυχῇ πίστεως ἐνθέου ὑπεστήρικτο δύναμις, μάθοι ἄν τις καὶ ἐκ τοῦδε λογιζόμενος, ὡς ἐν τοῖς χρυσοῖς νομίσμασι τὴν αὐτοῦ αὐτὸς εἰκόνα ὧδε γράφεσθαι διετύπου. ὡς ἄνω βλέπειν δοκεῖν ἀνατεταμένος πρὸς Θεὸν, τρόπον εὐχομένου. τούτου μὲν οὖν τὰ ἐκτυπώματα καθ' ὅλης τῆς Ῥωμαίων διέτρεχεν οἰκουμένης· ἐν αὐτοῖς δὲ βασιλείοις κατά τινας πύλας ἐν ταῖς εἰς τὸ μετέωρον τῶν προπύλων ἀνακειμέναις εἰκόσιν, ἑστὼς ὄρθιος ἐγράφετο. ἄνω μὲν εἰς οὐρανὸν ἐμβλέπων. τὼ χεῖρε δ' ἐκτεταμένος εὐχομένου σχήματι.

Caput XV.

Quòd in nummis & imaginibus, precantis habitu effingi ſe juſſit.

QUanta porrò divinæ fidei vis ac virtus in ejus animo inſederit, vel ex hoc uno conjici facilè poteſt, quòd in aureis nummis exprimi ſe juſſit vultu in cælum ſublato, & manibus expanſis inſtar precantis. Et hujus quidem formæ nummi per univerſum orbem Roma- D num cucurrerunt. In ipſa vero regia juxta quaſdam januas, in imaginibus ad ipſum veſtibuli faſtigium poſitis depictus eſt ſtans; defixis quidem in cælum oculis; manibus autem expanſis precantis in modum.

ΚΕΦΑΛΑΙΟΝ Ιϛʹ.

Ὅτι καὶ ἐν εἰδωλείοις εἰκόνας αὐτοῦ θεῖναι, νόμῳ διεκώλυσεν.

Ὧδε μὲν οὖν αὐτὸς ἑαυτὸν κἀν ταῖς γραφαῖς εὐχόμενον ἀνιστόρει νόμῳ δ' ἀπεῖρξεν εἰκόνας αὐτοῦ εἰδώλων ἐν ναοῖς ἀνατίθεσθαι. ὡς μηδὲ μέχρι σκιαγραφίας τῇ πλάνῃ τῶν ἀπειρημένων μολύνοιτο ἡ γραφή.

Caput XVI.

Quòd imagines ſuas in templis Idolorum poni, lege lata prohibuit.

SIc igitur ille ſe Deo ſupplicantem etiam in tabulis pictis exhibuit. Quinetiam lege lata vetuit imagines ſuas in idolorum templis dedicari; ne fortè errore vetitæ ſuperſtitionis, vel inani ſpecie tenus inquinaretur.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN